Ταῦτ' αὖ τὰ δῆθ᾽] Puto δῆθα pro δὴ νῦν, Hæc, inquit, quæ me desiderio torquent, vel lege δῆτα, tamen ἧς pro νῦν dicitur, vt apud Theocritum ἀλλ' ἧς ἀδὴν ἐλαφρόν. A

Μυ. Ω γλυκύτατον σὺ τεκνίδιον κακοῦ πατρός.
Φέρε σε φιλήσω γλυκύτατον τῇ μαμμίᾳ.
Λυ. Τί ὦ πόνηρα ταῦτα ποιεῖς χ' ἀτέραις
Πείθει γυναιξὶν. κἄμ' ἔτ' ἄχθεσθαι ποιεῖς.
Κι. Αὕτη με λυπεῖ. Μυ. μὴ προσάγε τὴν χεῖρά μοι. B
Κι. Τὰ δ' ἔνδον ὄντα τἀμὰ καὶ σὰ χρήματα
Χεῖρον διατίθεισ'. Μυ. ὀλίγον αὐτῶν μοι μέλει.
Κι. Ολίγον μέλει σοι τῆς κρόκης φορουμένης
Υπὸ τῶν ἀλεκτρυόνων; Μυ. ἔμοιγε νὴ Δία.
Μι: Τὰ τῆς Ἀφροδίτης ἱερ' ἀνοργίαστά σοι
Χρόνον τοσοῦτόν ἐστιν. οὐ βαδιεῖ πάλιν;
Μυ. Μὰ Δί' οὐκ ἔγωγ'. ἢν μὴ διαλλαχθῆτέ γε, C
Καὶ τοῦ πολέμου παύσησθε. Κι. τοιγὰρ ἂν δοκῇ
Κἄγωγ' ἄπειμι κεῖσε. Μυ. νῦν δ' ἀπομώμοκα.
Κι. Σὺ δ' ἀλλὰ κατακλίθητι μετ' ἐμοῦ διὰ χρόνου.
Μυ. Οὐ δῆτα. καίτοι σ' οὐκ ἐρῶ γ' ὡς οὐ φιλῶ.
Κι. Φιλεῖς; τί οὖν οὐ κατεκλίνης ὦ Μυρρίνιον. D
Μυ. Ω καταγέλαστ' ἐναντίον τοῦ παιδίου;
Κι. Μὰ Δί'. ἀλλὰ τοῦτό γ' οἴκαδ' ὦ Μανῆ φέρε.
Ιδοὺ τὸ μέν σοι παιδίον καὶ δὴ 'κποδών.
Σὺ δ' οὐ κατακλίνει. Μυ. ποῦ γὰρ ἄν τις καὶ τάλαν
Δράσειε τοῦτο. Κι. ὅπου τοῦ Πανὸς καλόν.
Μυ. Καὶ πῶς ἔθ' ἁγνὴ δῆτ' ἀνέλθοιμ' ἐς πόλιν. E

*MVR. O pulle dulcis improbi proles patris*
*Da basiem te, ô suaue mammiæ volup.*
LVS. *Quid improba audes, fœminusque obtemperans*
*Aliis, mihi sic anxitudinem creas?*
CIN. *Mihi hæc molesta est.* MVR. *auffer hinc manum tuam,* B
*Iam tu meas res & tuas quæ sunt domi*
*Male ordinasti.* CIN. *Paululum has curauerim.*
*MVR. Parumne curas alites quòd differunt*
*Detexta pulli licia?* CIN. *at certè parum.*
*Sed sacra Veneris non celebrasti orgia*
*Consueta tanto tempore: ecquid ire vis?*
*MVR. Non iuerim vnquam bella ni cessent prius,* C
*Pacemque componatis.* CIN. *ergo si placet,*
*Illuc abiero, iamque deiurauero:*
*Mecum accuba ergo, iamdiu hoc non fecimus.*
*MVR. Non persuades, etsi amem, nam quid negem?*
CIN. *Amas? age ergo Mutrinilla decubes.*
MVR. *Præsente pusione? numquid te pudet?* D
CIN. *Imò hunc puellum seruus asportet domum:*
*Manes abi & fer paruolum: en abest puer,*
*Nec decubas nunc.* MVR. *obsecro qua perfici*
*Hoc sede possit?* CIN. *Commodè ad Panos specum.*
*MVR. Qui tandem in vrbem pura sic reuorterer?* E

BISETVS. Χ' ἀτέραις.] καὶ ἑτέραις. κἄμ' ἔτ' ἄχθεσθαι ποιεῖς. τὸ πλῆρες, καὶ ἐμὲ ἔτι ἄχθεσθαι ποιεῖς. Τὰ δ' ἔνδον.] ἐν τούτοις πρότερον μεγάλη τῶν προσώπων ἦν σύγχυσις, ἣν κατὰ τὸ δυνατὸν ἀνείλομεν, καὶ προσώποις ἑκάστοις τὰ προσήκοντα, καὶ λόγους οἰκείους ἐδώκαμεν, καὶ τὰ πρόσωπα παρεγράψαμεν. ταῦτα οὖν ὁ Κινησίας πρὸς τὴν αὐτοῦ γυναῖκα λέγει. ἡ δὲ τούτων σύνταξις αὕτη, τὰ δὲ ἐμὰ, καὶ τὰ σὰ χρήματα ἔνδον ὄντα χεῖρον διατίθεισα. ἀλλὰ καὶ ἡ σύνταξις, καὶ ἡ ἔννοια ἀτελής ἐστιν, ἣν ἡ γυνὴ λόγον ἐπιφέρουσα διέτεμε, καὶ διέρρηξεν. τινὲς δὲ γράφουσι διατίθης, καὶ δεύτερον πρόσωπον ἀπὸ τοῦ διατίθημι ποιοῦσιν, ὅπερ ἁπλούστερον, καὶ βέλτιον δοκεῖ. Ολίγον αὐτῶν.] ἡ Μυρρίνη ταῦτα πρὸς τὸν αὐτῆς ἄνδρα λέγει. F Ολίγον μέλει.] ὁ Κινησίας τῇ γυναικὶ ἐπιτιμῶν ταῦτα προφέρει. πρὸς ὃν ἡ γυνὴ ἀποκρίνεται, ἔμοιγε νὴ Δία. εἶτα ὁ Κινησίας ἐπιφέρει, τὰ τῆς Ἀφροδίτης, καὶ τὰ ἑξῆς. τούτων γὰρ ὁ νοῦς ἐστι, τοσοῦτον δὲ χρόνον τὰ τῆς Ἀφροδίτης G ὄργια ἀνοργίαστα μένοντα περιεῖδες. τοιγαροῦν δεῦρο, δεῦρο πρὸς ἐμὲ νῦν βάδιζε, ἵνα ταῦτα τελέσωμεν, τουτέστι συνέλθωμεν, καὶ μίξεως ἡδονὴν λάβωμεν. ἀλλὰ τοῦτο σεμνοπρεπέστερον εἴρηται. εἴθε δὲ καὶ τὴν αὐτὴν σεμνοπρέπειαν, καὶ εὐκοσμίαν τῶν λόγων ὁ Ἀριστοφάνης ἐν ἅπασι τοῖς ἑαυτοῦ δράμασιν ἐπιμελῶς ἐφύλαξεν. ἧττον γὰρ ὑπὸ τῶν σωφρόνων ἀνδρῶν ἐψέχθη. ἀλλὰ τῆς ἀσελγείας καὶ αἰσχρολογίας δίκαιος ὁ ψόγος. Νῦν δ' ἀπομώμοκα.] ἀντὶ τοῦ ὁρκωμοσίαν πρὸς τὰς γυναῖκας πεποίηκα. Σ. ἄλλως. ὤμοκα τῆς συνουσίας ἀφέξειν. ἐνταῦθα δὲ τὸ τῆς Μυρρίνης ὄνομα παραγραπτέον. Σὺ δ' ἀλλά.] ταῦτα ὁ Κινησίας προφέρει. διὸ καὶ αὐτοῦ τὸ πρόσωπον παραγραπτέον. F Διὰ χρόνου.] διὰ χρόνου διωρισμένως παρὰ τῷ Σουίδᾳ γράφεται, καὶ ἑρμηνεύεται, μετὰ πολὺν χρόνον. τούτων τοίνυν ὁ νοῦς εἴη, μετὰ τὴν σου πολυχρόνιον ἀπουσίαν, ἐπεὶ τοσοῦτον χρόνον τῆς συνουσίας ἀπεῖχες, νῦν μετ' ἐμοῦ κατακλίθητι, καὶ κοιμῶ. τινὲς μέντοι τὸ διὰ χρόνου ἐνταῦθα λαμβάνουσιν, ἀντὶ τοῦ, ὀλίγον χρόνον, κατ' ὀλίγον χρόνον. ἄλλοι δὲ τὸ διαχρόνου μιᾷ λέξει γραφόμενον ἑρμηνεύουσι, ἐν τούτῳ, ἐν τοσούτῳ, ἐν τῷ μεταξὺ, κατὰ τοῦτον τὸν χρόνον. ὅπερ ἴσως οὐκ ἀπίθανον. Ω Μανῆ] G Μανῆς, ὄνομα δούλου. ἐν τῇ κλητικῇ Μανῆ, ὡς Ἑρμῆ. Δράσειε τοῦτο.] ἐκ τῶν ἄνω προειρημένων, ἐν τῷ, Η Πανός ἐστι ταὔλιον, δῆλον ἐνταῦθα καὶ νοῦ, καὶ μέτρου χάριν οὕτω γραπτέον,

Δράσειε τοῦθ; Κι. ὅπου τὸ Πανὸς αὔλιον. ἢ τὸ Πανὸς αἰπόλιον.